ΦΑΙΔΩΝΟΣ Κ. ΜΠΟΥΜΠΟΥΛΙΔΟΥ
Ὑφηγητοῦ τῆς Νεωτέρας Ἑλληνικῆς Φιλολογίας

# ΑΝΕΚΔΟΤΟΝ ΚΕΙΜΕΝΟΝ ΤΟΥ ΔΗΜΗΤΡΙΟΥ ΜΟΣΧΟΥ

Τοῦ ἐπιφανοῦς Ἕλληνος λογίου Δημητρίου Μόσχου τοῦ Λάκωνος[1] γνωστὰ μέχρι σήμερον ἔργα εἶναι τὸ ὑπ' αὐτοῦ ἐκδοθὲν ἡρωϊκὸν ποίημα ὑπὸ τίτλον «Τὸ καθ' Ἑλένην καὶ Ἀλέξανδρον»[2], τὸ δραματικὸν ἔργον «Νέαιρα»[3], βραχὺ ὑπόμνημα εἰς τὸ «Περὶ λίθων» τοῦ Ὀρφέως κείμενον[4] καὶ μικρὸν τμῆμα τῶν ἐπιγραμμάτων αὐτοῦ[5].

---

1. Ἰδ. Φ. Κ. Μπουμπουλίδου, Ἀνέκδοτον ἐπίγραμμα «Εἰς Βενετίας» Δημητρίου Μόσχου τοῦ Λάκωνος, «Rivista di Studi Bizantini e Neoellenici», n.s. 1 (XI). Roma 1964, σ. 91 - 101 (ἔνθα καὶ σχετικὴ βιβλιογραφία).

2. Περὶ τῶν ἐκδόσεων τοῦ ποιήματος ἰδ. Ém Legrand, Bibliographie Hellenique... XV - XVI s., t. I. Paris 1885, σ. 67 - 71. — Τοῦ αὐτοῦ, Bibliographie Hispano - Grecque. Première partie: 1477 - 1560 (Extrait de la Bibliographie Hispanique) New York 1915, σ. 44 - 47. — Fr. Friedemann - J. D. G. Seebode, Miscelanea maximam partem critica, Vol. II. Part. I. Wittenbergae - Londini - Parisiis... MDCCCXXIII, σ. 476 - 487. — Ἀναστ. Γεωργιάδου - Λευκίου, Δημ. Μόσχου τοῦ Λάκωνος «Τὸ καθ' Ἑλένην καὶ Ἀλέξανδρον», ἐπεξεργασθὲν ἐξεδόθη ὑπὸ —. Ἐν Βιέννῃ ,αωλγ'.

3. Τὸ ἔργον τοῦτο ἐξεδόθη τὸ πρῶτον ὑπὸ Ἀ. Μουστοξύδου, Ἰωάννης, Γεώργιος καὶ Δημήτριος Μόσχος, «Ἑλληνομνήμων», ἀρ. 7 (1845), 406 - 436. — Δευτέρα ἔκδοσις τοῦ ἔργου μετὰ γερμανικῆς μεταφράσεως, ἐγένετο ὑπὸ A. Ellissen, Neaera. Komödie von Demetrius Moschus von Lacedämon... Hannover 1859.

4. Περὶ τῆς πρώτης ἐκδόσεως τοῦ ἔργου [1517] ἰδ. Ém. Legrand, Bibliographie Hellénique... XV - XVI s., t. I. Paris 1885, σ. 158 - 159. Τὸ αὐτὸ κείμενον τοῦ Δ. Μόσχου παραδίδεται καὶ διὰ τῶν ἑπομένων δύο κωδίκων: α) ὑπ' ἀρ. 854 (C 80 inf.) τῆς Ἀμβροσιανῆς τοῦ Μιλάνου (ΙΕ' αἰ., f. $222^v$) περιγραφέντος ὑπὸ Aem. Martini καὶ D. Bassi (Catal. Cod. graec. Bibl. Ambrosianae, t. II. Mediolani MCMVI, σ. 950 - 951) καὶ β) ὑπ' ἀρ. 2764 τῶν Παρισίων (ΙΕ' αἰ., ff. $1^r$ - $2^r$) περιγραφέντος ὑπὸ H. Omont (Inventaire Sommaire des manuscrits grecs de la Bibliothéque Nationale. Paris 1888, t. III, σ. 37).

5. F. M. Pontani, Epigrammi inediti di Demetrio Mosco, «Maia» XV, ἀρ. 4 (Ὀκτώβριος - Δεκέμβριος 1963), σ. 501 - 514 (Πρβλ. καὶ M. Gigante, Epigrammi di Demetrio Mosco, «Rivista di Studi Bizantini e Neoellenici», n s. 1

Περὶ τῶν λοιπῶν πεζῶν ἔργων τοῦ Δημ. Μόσχου γενικὰς μέχρι τοῦδε καὶ ἀορίστους πληροφορίας εἴχομεν, τοῦ Gyraldi, διὰ στόματος τοῦ 'Αντιμάχου, εἰπόντος ὅτι ὁ «τῆς ἀρχαίας 'Ελλάδος ὀψίγονος καὶ τηλύγετος ποιητής»[1] composuit et orationes quasdam[2].

Τὰ πεζὰ κείμενα διεσώθησαν διὰ δύο κωδίκων: τοῦ Βατικανοῦ Παλατινοῦ 428 (V), περιγραφέντος ὑπὸ Henr. Stevenson[3] καὶ τοῦ 'Αμβροσιανοῦ 854 ⟨C 80 inf.⟩ (A), περιγραφέντος ὑπὸ τῶν Aem. Martini καὶ D. Bassi[4].

'Εν τῷ πρώτῳ κώδικι περιλαμβάνεται ἡ «Μονῳδία τῆς Θεοτόκου εἰς τὴν Σταύρωσιν» (ff. 56$^{r}$-57$^{v}$), ἐν δὲ τῷ δευτέρῳ τρεῖς λόγοι: «Πρὸς τὸν | αὐτὸν | περιφανῆ Δημήτριον Λάσκαριν τὸν πρωτοστράτορα στρατηγικός» (ff. 240$^{r}$-244$^{v}$), «Μελέτη συνηγορικὴ πρὸς Μιχαῆλον περὶ κλοπῆς ὑπὲρ τοῦ εὐγενοῦς Παύλου τοῦ Σγουρομάλλου» (ff. 245$^{r}$-250$^{v}$) καὶ «Μελέτη ὑπὲρ τοῦ ἀναβεβηκότος ἀριστέως ξένου ἐπὶ τὸ τεῖχος πολέμου ὄντος καὶ νικήσαντος καὶ κρινομένου παρανόμων, νόμου κελεύοντος μὴ ἀνιέναι τὸν ξένον ἐπὶ τὸ τεῖχος» (ff. 250$^{v}$-256$^{r}$).

Κατωτέρω ἐκδίδεται κριτικῶς τὸ κείμενον τοῦ εἰς τὸν Δημ. Λάσκαριν[5] «στρατηγικοῦ», δι' οὗ ἐνισχύεται ἡ καὶ ἄλλοθεν γνωστὴ εὐρυτάτη ἀναστροφὴ τοῦ Δημ. Μόσχου πρὸς τὰ ἀρχαῖα κείμενα, ὑποδηλοῦται δὲ καὶ ἡ ρητορικὴ δεινότης τοῦ συγγραφέως καὶ τὸ διέπον αὐτὸν εὐρύτερον ἀνθρωπιστικὸν πνεῦμα.

---

(XI). Roma 1964, σ. 79-89). — Φ. Κ. Μπουμπουλίδου, 'Ανέκδοτον ἐπίγραμμα εἰς «Βενετίας» Δημ. Μόσχου τοῦ Λάκωνος, ἔνθ' ἀν., σ. 91-101.

1. 'Αναστ. Γεωργιάδου-Λευκίου, Δημ. Μόσχου τοῦ Λάκωνος «Τὸ καθ' 'Ελένην καὶ 'Αλέξανδρον», ἔνθ' ἀν., σ. λά.

2. Lili Gregori Gyraldi, Operum, tomus Secundus, historiam poetarum Graecorum ac Latinorum... comprehendens. Lugduni Batavorum MDCXCVI, στ. 551. Εἰς τοῦτον ἕπονται πάντες οἱ μεταγενέστεροι καὶ περὶ τοῦ Δημ. Μόσχου γράψαντες.

3. Henr. Stevenson, Codices mss. Palatini Graeci Bibl. Vaticanae. Romae MDCCCLXXXV, σ. 277-278 (Περὶ τῆς συγκεχυμένης τάξεως τῶν φύλλων τοῦ κώδικος, ἰδ. Φ. Κ. Μπουμπουλίδου, 'Ανέκδοτον ἐπίγραμμα «Εἰς Βενετίας», ἔνθ' ἀν., σ. 92 σημ. 4).

4. Aem. Martini - D. Bassi, Catalogus Codicum Graecorum Bibliothecae Ambrosianae, ἔνθ' ἀν., σ. 950-951.

5. Περὶ τοῦ Δημ. Λασκάρεως τοῦ «πρωτοστράτορος», ὡς καὶ περὶ τῆς ἀκριβοῦς σχέσεως τῶν ὑπὸ τὸ ὄνομα Δημήτριος πρὸς ἀλλήλους Λασκάρεων τοῦ ΙΕ' αἰ. πλείονα στοιχεῖα θὰ περιληφθοῦν εἰς τὴν ἐξαγγελθεῖσαν ἤδη ὑπ' ἐμοῦ πλήρη ἔκδοσιν τῶν ἔργων τοῦ Δημ. Μόσχου. ('Ιδ. Φ. Κ. Μπουμπουλίδου, 'Ανέκδοτον ἐπίγραμμα «Εἰς Βενετίας», ἔνθ' ἀν., σ. 91 σημ. 1).

f. 240r *Τοῦ αὐτοῦ Δημητρίου Μόσχου τοῦ Λάκωνος πρὸς τὸν αὐτὸν περιφανῆ Δημήτριον Λάσκαριν τὸν πρωτοστράτορα στρατηγικός.*

*Πρότερον μὲν ἃ παρ' ἡμῶν ἦν ἀκουστέα σοι, ταῖς συμβαινούσαις μελέταις προσέχοντι, πάλαι καλῶς ἔχεις ἐναποκείμενα καὶ χάριν ἡμῖν τε ἀπέδωκας ταῦτα φυλάσσων, ὡς ἔδει, σαυτῷ δὲ ὡς οἶμαί σε ᾐσθῆσθαι πολλάκις ἀμοιβὴν τῶν ἤδη λυσιτελῶς σοι πεποιημένων. 'Επειδὴ δὲ ἤδη καθ' ἡλικίαν αὐξομένῳ οὐχ ἧττον καὶ τὰ τῆς φύσεως καὶ τὰ τῆς τύχης συνεπαύξεται, παραδέδοται δέ σοι καὶ νῦν οὐ μικρὸν εἰς ἐπίδειξιν ὧν ἐπαιδεύθης ἀξίωμα, τὸ ταξιαρχεῖν οὐκ ὀλίγων, οὐκ ἀπεικὸς ὑπέλαβον ὑποθέσθαι σοι τὰ πρὸς τὸ πρᾶγμα συντείνοντα, ἵνα μηδὲ τοῦτο πρὸς τοῖς ἄλλοις ἀπῇ. Πάντως γὰρ ἡγούμην ἄτοπον τὰ μὲν ἄλλα σοι μεταβολὴν δέξασθαι πρὸς τὸ μεῖζον, τὴν δ' ἡμετέραν τῆς εἰς σὲ φιλίας σύστασιν οὐχ ὡσαύτως φαίνεσθαι διατιθεμένην. Καὶ μὴ νομίσῃς μετὰ ταῦτα φροιμιαζόμενον ἐνδεῆ σοι πάλαι ταύτην φυλάττειν καὶ οὐκ ἀκέραιον· ἀλλὰ τότε μὲν οὕτω σοι προσεκείμην, ὡς ἐξ ὧν ἔπραττες οὐ μόνον καλῶς ἀκούοντι, ἀλλὰ καὶ εἰς τὸ μεῖζον ἐλπίδας εἰσέπειτα παρέχοντι, ὧν νῦν δὴ τέλος ἀρχομένων παραλαμβάνειν εἰκότως ἄν σε καὶ μᾶλλον τὰ εἰς φιλίαν τιμῶμεν, ἄλλως τε καὶ τούτων αὐτὸν φαινόμενον αἴτιον, σαυτῷ μὲν εὐκλείας τε καὶ τιμῆς, ἡμῖν δὲ ἧς περὶ σοῦ χρηστῆς εἰχόμεθα δόξης τοῦ ταύτην βεβαιωθῆναι. 'Επειδὴ τοίνυν, ὥς καί τις φθάνει περὶ τοῦ πρώτου τῶν ἡρώων προειρηκώς, ἔτι νεάζοντος, ὡς εἰς τοὺς πολεμικοὺς ἀγῶνας αὐτὸν μετὰ Καλλιόπης 'Αθηνᾶ τρέψειε, καὶ περὶ σοῦ τοιοῦτό τι φαίνεται, ἄσμενοι μὲν ἀπο-*
f. 240v *δεχόμεθα τὰ παρὰ τῆς τοῦ κρείττονος εἰς τοῦτο || προνοίας ἐψηφισμένα σοι. Σκοπεῖσθαι μέντοι κἀνταῦθα χρὴ τίνα μετιόντες ἐκεῖνοι δρόμον τοσούτων ἀειμνήστων στεφάνων ἔτυχον, οὓς οὐδ' ὁ πᾶς, οἶμαι, χρόνος αὐτοῖς ἐξαλεῖψαι δύναιτο. Εὑρήσεις γὰρ οὐχ ὡς εἴποι τις ἂν ἁπλῶς ἐκείνους παρὰ τῆς φύσεως τοσοῦτον εὐδοκιμῆσαι, μὴ καὶ μετεσχηκότας τῆς εἰς ταῦτα ἀσκήσεως.*

*Αὐτίκα γὰρ τὸ περὶ τοῦ Χείρωνος μυθευόμενον τίνα σοι λόγον ἔχει, συγκεκράσθαι τοιαύτην ἐκείνῳ μορφὴν καὶ φύσιν ἐξ ἵππου τε καὶ ἀνθρώπου, ἢ ἐκ τοῦ παρ' ἑκάτερα τῶν πολεμικῶν ἐκεῖνον ἄκρον νομίζεσθαι, ἱππικῆς τέ φημι καὶ ὅσα εἰς πεζὸν ἥκει; "Οθεν ἐκεῖνον μεταλλοιοῦσθαι καθ' ὃν συμβαίνοι καιρὸν οὐδέτερον ἐμποδὼν ἦν εἰς ὅπερ ἔδει φύσεώς τε δεξιότητι καὶ ἄλλως ἀσκήσει τῶν τοιούτων οὐκ ὀλίγῃ. Τοιοῦτον δὲ ὄντα ἐκεῖνον πάντων τῶν*

---

Nunc primum edidi e cod. Ambros. Gr. 854 ⟨C 80 inf.⟩ (saec. XV), ff. 240r - 244v || In tit. *αὐτ(ὸν)* supra lineam || 1 *μεν* supra lineam || 3 *οἶμαι* || 4 *λυσιτελως* || 14 *ὧν* || 27 *τε φημί* ||

*πώποτε ὡς ἀγαθῶν τε καὶ γενναίων ᾀδομένων διδάσκαλον καθεστάναι. Ἦν δὲ παρ' αὐτοῦ γε οὐ ταῦτα μόνον παιδεύεσθαι, ἀλλὰ καὶ δικαιοσύνης τι καὶ ῥυθμοῦ.*

*Ὅτι δὲ ῥυθμὸς καὶ πρὸς τὰ τοῦ πολέμου συμβάλλεται, καὶ ὁ εἰς Ἀπόλλωνα παιὰν ᾀδόμενος, ὁπότε συνελθεῖν αἱ τάξεις ἔμελλον, παρίστησιν. Ἔτι δὲ καὶ τὸ τὸν Λυκοῦργον τοῖς Λακεδαιμονίοις νόμον ἐγκαταθέσθαι, ταῖς Μούσαις ὑπὸ τοῦ βασιλέως θύεσθαι πρὸ τοῦ συνάψαι τοῖς πολεμίοις. Καὶ ὅτε δὲ συνῄεσαν, ὑπ' αὐλοῖς τε καὶ ὀργάνοις ἄλλοις ἐποιοῦντο τὴν ἔφοδον, ὡς ἱστόρηται, τὸ πολὺ καὶ ἄμετρον τοῦ θυμοῦ τῆς εὐρυθμίας ἀνακοπτούσης καὶ ἄλλως δὲ τὰς ἐν πολέμῳ προσπιπτούσας δυστυχίας τρόπον τινὰ παραμυθουμένης.*

*Ὅτι δὲ καὶ δικαιοσύνην ὁ προειρημένος τῶν πολεμικῶν ἐπήσκει διδάσκαλος, λόγος* f. 241r *|| ἡμῖν σοφοῦ τε καὶ θείου ποιητοῦ διαπιστώσει, Ὀρφέως, λέγω, τοῦ Θρᾳκός, ὃς τάδε περὶ τοῦ Χείρωνος ἀπεφθέγξατο·*

*ἔνθα δὲ Χείρων*
*ναίει ἐνὶ σπήλυγγι δικαιότατος Κενταύρων,*
*ὅς ῥα δικασπολίῃ μέλεται καὶ ἀκεύμασι νούσων.*
*ἄλλοτε δ' αὖ Φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,*
*ἢ λιγυρὴν φόρμιγγα χελυκλόνον Ἑρμάωνος*
*πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει.*

*Εἰ μὲν οὖν μέχρι τοῦδε μόνον μνείαν ἐποιήσατο, τυχὸν ἄν τις ἐκεῖνον κατὰ συμβεβηκὸς ἐνόμισε κεκοσμῆσθαι τοῖς πλεονεκτήμασι τούτοις. Νῦν δὲ καὶ τὸν Πηλέως οὕτως ὑπέγραψε παιδευόμενον·*

*ἀγχοῦ δ' ἱστάμενος Θέτιδος καὶ Πηλέος υἱὸς*
*χερσὶ λύραν ἤρασσε, φρένας δ' ἐτέρπετο Χείρων.*

*Καὶ δι' ἃ μὲν εἴχοντο τοῦ προτέρου, λέγω τοῦ πρὸς ῥυθμὸν ἀγωνίζεσθαι, ῥᾴδιον ἐκ τῶν προειρημένων καταμαθεῖν.*

*Τὸ δὲ τῆς δικαιοσύνης τίνες ἂν παραφυλάξαι λέγοιντο μᾶλλον ἢ Λακεδαιμόνιοι, περὶ ὧν καὶ πρότερον μνήμην ἐποιούμεθα; Ἐκείνοις γὰρ οὕτως ὥριστο ἐκ τῶν νόμων, μηκέτι πρόσω τοὺς ἀντιπάλους ἐν ταῖς μάχαις διώκειν ἢ ἐφ' ὅσον ἂν τράποιντο, τραπέντων δὲ ἤδη καὶ αὐτοὺς ἐπαναστρέφειν. Ἀποφαινέσθω μὲν οὖν περὶ τούτων ὡς ἕκαστος ἔχοι γνώμης. Ἐμοὶ δὲ κἀνταῦθα δοκεῖ Λυκοῦργος τὸν τοῦ μετρίου λόγον φυλάξαι, ὥσπερ ἂν αὐτῶν δικαζόντων ὁπόσην δέοι τοὺς ἠδικηκότας ὑποσχεῖν τιμωρίαν ἀνθ' ὧν ἐξυβρίσειαν. Ἐνόμιζε γὰρ εἰς μὲν τῶν μὴ λυπηρῶν τὴν ἀνταπόδοσιν ῥᾴδιον εἶναι καὶ τοῦ*

31 *καθεστᾶναι* || *Ἦν* in marg. || 50 *περικτυόνεσσι* || 51 *ἀν* || *τις* supra lineam ||

34 - 41 Πλουτ., Λυκ., 22,4-5 || 45 - 50 Ὀρφ., Ἀργοναυτ., 380 - 381, 383 - 386. || 54 - 55 Ὀρφ., Ἀργοναυτ., 399 - 400.

*καθ' ἕκαστον ἐπὶ τοῖς ἴσοις ψηφίζεσθαι, ὅπου δὲ εἰς τιμωρίαν τὸ αὐτεξού-* f. 241v *σιον προσγένηται, ἀκρατῶς ἐνταῦθα φερομένους* ‖ *τοὺς προϋβρισθέντας ἠπίστατο. Διὸ κἀνταῦθα τοιούτους ἀπέδωκε τοὺς ἑαυτοῦ πολίτας, ἐπεὶ καὶ μόνοι σπονδῶν ἀκριβεῖς ἐφαίνοντο φύλακες καὶ ὅλως οὐδὲν ὧν ὑπόσχοιντο παρεώρων.*

*Περὶ δὲ τῆς πρὸς τὸ θεῖον ἐπιμελείας οὕτω κἀνταῦθα γινώσκομεν, ὡς πανταχοῦ μὲν ἡμῖν δεῖ τῆς τοῦ κρείττονος βοηθείας ὁποιαδήποτε τύχῃ χρώμεθα. Ἐν οἷς δὲ περὶ μειζόνων κινδυνεύομεν, ἐνταῦθ' οἶμαι καὶ μᾶλλον εἰς χρείαν γινόμεθα τούτου, ὅσῳ καὶ πολλῷ αὐτῶν ἀσθενεστέραν αἰσθανόμεθα. Ποῖον δ' ἂν εἰπεῖν ἔχοις καιριώτερον σπούδασμα καὶ μᾶλλον ἀνδρὶ διαφέρον ἢ ὅταν ἑαυτὸν εἰστάξας ὡς ἐν ταὐτῷ τις περὶ τοῦ ἰδίου τε βίου καὶ δόξης καὶ ἄλλων τῶν αὐτῷ προσηκόντων ἀγωνίζεται, ὅπως ἢ καὶ ταῦτα μεθ' ἑαυτοῦ διασώσῃ ἢ μετ' ἐκείνων καὶ αὐτὸν τοῖς ἐχθίστοις καθυποτάξῃ;*

*Ἐν τοίνυν τοῖς τοιούτοις καὶ τῆς τοῦ θείου βοηθείας ἡμῖν μάλιστα περιποιητέον. Καὶ ὅτι μὲν οἱ πάλαι διὰ μαντικῆς τὰ τῆς σωτηρίας ἐθηρῶντο σφαγιαζόμενοι, πολλαχῇ μεμάθηκας, ἀλλὰ καὶ ὁ σοφώτατος Ὀδυσσεὺς ὑπ' Ἀθηνᾶς τοιαύτῃ σεμνύνεται μαρτυρίᾳ. Φησὶ γὰρ ἐκείνη πρὸς τὸν Δία δήπουθεν·*

*οὔ νύ τ' Ὀδυσσεὺς*
*Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων,*
*Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;*

*Ἔτι δὲ περὶ τούτων. Ἐν οἷς μὲν ὁ ποιητὴς περὶ τῶν τρωϊκῶν διεξέρχεται, ὡς τῶν πραγμάτων ὄντων ἀκμαιοτέρων καὶ μᾶλλον τῆς τοῦ κρείττονος δεομένων ἀντιλήψεως, πολλαχόσε τοὺς θεοὺς ὁμιλεῖν ἐποίησε τοῖς ἥρωσιν. Ἐν οἷς δὲ τὸν ἠθικώτερον διεξέρχεται λόγον, ἐνταῦθα Καλυψώ τε καὶ Κίρκη προσεμφανίζονται καὶ ἄλλαι Νυμφῶν τε καὶ ἡρωίδων, ὡς ἑκάστη πρὸς ἔκθεσιν τῆς ἠθικῆς φιλοσοφίας παρείληπται.* ‖

f. 242r *Καὶ μὴν σωφροσύνην εὕροις ἂν τοὺς πάλαι περὶ πλείστου ποιουμένους, ἐν οἷς ἕξεις καὶ τὴν καλὴν ἐκείνην τὴν Ἀβραδάτου Πανθείαν ὡς ἔμψυχον παράδειγμα, Κῦρον σωφρονέστατόν τε ἅμα καὶ σεμνότατον μαρτυρήσασαν· καίτοι καλὴ μὲν ἐκείνη καὶ ἐφ' οἷς ἄν τις εἴποι, ὡς ἀθανάταις "εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐῴκει", οὐχ ἧττον δὲ καὶ Κῦρος εἰς εὐπρέπειαν εἴδους ἐθαυμάζετο. Ἀλλ' ὅμως ἑκάτερος ταῖς οἰκείαις ἐκέχρητο ταύταις χάρισιν εἰς σωφροσύνην μείζω προξένοις ἢ πρός τι τῶν εἰς ἀκρασίαν φερόντων. Καὶ ἃ μὴ περί τούτων ἡ ἱστορία φράζει, οὐδὲ σοὶ πάντως ἄγνωστα.*

---

66 *καθέκαστον* ‖ 72 *οἷς* ‖ 75 *ἐνταυτῶ* ‖ 83 *οὔνεκ'* ‖ 85 *τίννοί* ‖ 87 *κρείττονος* ex corr. pro *κρήττονος* ‖ 93 *πανθίαν* ‖ 95 *εἶδος* ‖

---

83 - 85 Ὁμήρ., α 60 - 62. ‖ 93 Ξενοφ., Κ. Παιδ., VI,I,41. ‖ 95 - 97 Ξενοφ., Κ. Παιδ., V,I,6. ‖ Ὁμήρ., Β 58.

Ἵνα δὲ μηδ' ἑτέρου τῶν εἰς τὸ αὐτὸ συντεινόντων ἀνήκοος ᾖς, Σκηπίωνά φασι τὸν Ῥωμαῖον, ἐπειδὴ τῆς Καρχηδόνος ἐγκρατὴς ἐγένετο, ταὐτὸν δή τι πεπονθέναι τῷ Κύρῳ· ὃν δὴ μιμησάμενος πρῶτος ἐπῃνέθη τῶν κατ' ἐκείνους ἐντεῦθεν. Νεανίσκη τις ἦν τῶν ἐπισήμων, κάλλει τῶν ἄλλων πολὺ διαφέρουσα, ἣν οἱ τεκόντες κατηγγύησαν ἀνδρὶ τῶν ἐκ τῆς πόλεως ἀξίῳ ταύτης μάλιστα μετὰ προικὸς οὐκ ὀλίγης καὶ τοὺς γάμους ἀνεβάλλοντο διὰ τὸ τῆς ἡλικίας ἐπ' αὐτοῖς ἔτι νεώτερον. Ἐπειδὴ δὲ εἰς ὥραν ἤκμαζον γάμου, δυστυχεῖ τινι δαίμονι, μᾶλλον δὲ ἴσως εὐτυχεῖ περιπίπτουσι. Τηνικαῦτα γὰρ Σκηπίων ἐπιστρατευσάμενος τήν τε ἑαυτῶν πατρίδα δορυάλωτον ἔσχε καὶ τὴν ὡς νύμφην πρότερον ταύτην πολυτελῶς κεκοσμημένην αὐτῷ μετὰ τῶν ἄλλων αἰχμάλωτον ἄγουσιν. Ἣν ἐκεῖνος θεασάμενος καὶ πρὸς τὴν ὄψιν καταπλαγείς, εὐθὺς τινὶ τῶν ἐντίμων αὐτὴν παρακατέθετο. Μετὰ ταῦτα δὲ καὶ οἱ τῆς εὐγενοῦς ἐκείνης παρθένου προσήκοντες παραγίνονται, χρήματα συλλεξάμενοι, λύτρα δηλονότι
f. 242v τῆς αἰχμαλώτιδος, || παρ' ὧν ὁ στρατηγός, ὡς τὰ περὶ ἐκείνης ἐπύθετο, παραλαβὼν τὰ χρήματα καὶ ἀπαριθμήσας καὶ τὸν αὐτῆς νυμφίον μεταπεμψάμενος, παρόντων καὶ τῶν ἀμφοτέροις προσηκόντων, ἔτι δὲ καὶ ἄλλων οὐκ ὀλίγων, ταύτην, φησὶ πρὸς τὸν νυμφίον, ἐγώ σοι μετὰ τούτους γυναῖκα παρεγγυῶμαι, προσαποδίδωμι δέ σοι καὶ εἰς προῖκα ταυτὶ τὰ χρήματα. Τοῦτο δὴ παρὰ δόξαν ἅπασιν ὑπὸ Σκηπίωνος γενόμενον, καὶ γὰρ ἐκεῖνος ὢν ἐτύγχανεν ἐτῶν τεττάρων τε καὶ εἴκοσι μάλιστα, πολλοὺς ἐπῆρεν εἰς εὐφημίαν οὐχ ἧττω τῆς ἐκ τῆς νίκης αὐτῷ προσγενομένης εἰκότως. Ἐκεῖ μὲν γὰρ ἄλλων ἐκράτει, ἐνταῦθα δὲ τῆς οὐ δικαίας ὀρέξεως ἑαυτὸν ἐπισχὼν ἀήττητον παρέδωκε καὶ εἰς σωφροσύνην ἀγωνιστήν. Πολλὰ γὰρ εἰκὸς ὑποπτεύειν τὸν ἑαυτοῦ μὴ πρότερον κρατήσαντα ὡς καὶ τοῖς ἄλλοις προσενεχθήσεται. Δεῖ γὰρ τὸν ἄλλων ἀρχὴν παραληψόμενον αὐτοῦ πρῶτον ἄρχοντα φαίνεσθαι, εἰ δὲ μὴ πῶς ἄν τις ἐκεῖνον ὑπολάβοι ἢ τῶν ἐχθρῶν περιγενησόμενον ἢ τῶν συμμάχων ῥαδίως ἀφεξόμενον, ὃς αὐτῷ πρὸς τὰς ἡδονὰς εὐπορίαν περιζητοίη καὶ μηδενὸς αὐτοῦ πρότερον κυριεύοι;

Ἔτι δέ σοι καὶ πίστιν οἷς παρὰ σοῦ γένηται φυλακτέον καὶ ὅπερ Ἡσίοδος ἔφη

Πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας

ἐνταῦθα καὶ μᾶλλόν μοι δοκεῖ δεῖν ἐξετάζεσθαι. Οὕτω γὰρ ἔχειν προσήκει τὴν γνώμην, ὡς μήτε ὅλως ἀμοίρους πίστεως φαίνεσθαι, μήτ' εὐχερῶς ὅ,τι ἂν τύχοι προσιεμένους. Τὸ μὲν ὅτι παντάπασιν ὑπόπτους καθίστησι, τὸ δὲ ὅτι οὐκ ἀσφαλές. Τοῦτο δὲ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς καὶ ὁ τούτου τῶν

---

100 το supra lineam || 101 σκηπίωνα φασὶ || ταυτὸν || 106 ἴκμαζον || 112 λῦτρα || 118 ὢν supra lineam || 130 πίστις || ἀπιςία ||

---

100 κἑξ. Πολυβ., Ἱστορ., X,19 || 130 Ἡσιόδ., Ἔργα καὶ Ἡμέραι, 372.

*Περσῶν τὴν βασιλείαν καθελὼν 'Αλέξανδρος ἀπέδειξαν ἐκ τῶν πεπραγμένων* f. 243r *αὐτοῖς ἑκάτερος.* || *῞Ολως μὲν γὰρ οὔτε τὴν ἀρχήν, οὔτε τὴν ἄλλην τοῦ βίου προαίρεσιν παραπλησίαν εὑρήσεις αὐτοῖς, ἀλλ' ἐκεῖνον μὲν ἄπιστον διαβεβλημένον πολλαχόθεν λέγουσι, τοῦτον δὲ ἄλλως τοῖς πράγμασι προσφερόμενον, ὅθεν καὶ μᾶλλον ηὔξηται. Καὶ Φίλιππος μέν, εἰ τὰ τῆς τελευτῆς ἐκείνου σκοπεῖς, ὁ αὐτὸς ὑπὸ πίστεώς τε καὶ ἀπιστίας ἀπολλύμενος φανήσεται· τὴν μὲν γὰρ ἠξίου παρέχειν ἄλλοις, τῇ δὲ οὕτω φαίνεται χρησάμενος, ὡς ὑπὸ Παυσανίου φονεύεται, ὃς ἀπροφυλάκτου τε καὶ ἅμα ἀκολάστου διὰ τὴν πρὸς τὸν υἱὸν ἀσέλγειαν ἐκείνου πεπείραται· 'Αλέξανδρον δὲ καὶ θεοφιλέστερον καὶ εὐσεβέστερον ὄψει μαρτυρούμενον καὶ πολλῶν τῶν μετὰ ταῦτα διῃρημένων μόνον τὴν βασιλείαν συνέχοντα.*

*Μέτεστι δέ σοι καὶ ἄλλων ὅσοις δεῖ τὸν τοιοῦτον κοσμεῖσθαι, φύσιν εὐγενῆ διδάσκαλον ἔχοντι καὶ οὐκ ἀποροῦσαν ὡς δεῖ τὸν τεκόντα χαρακτηρίζειν, εἰ καὶ "παῦροι μὲν υἱοί", κατὰ τὸν ποιητήν, "ὁμοῖοι πατράσι πέλονται". 'Εφ' οἷς καὶ μάλιστα δεῖ σε λογίζεσθαι ὡς ὅσῳ μείζονι σαυτὸν δυνηθῇς ἐξεικάσαι, τοσούτῳ πλείω σοι καὶ τὸν ἀγῶνα προσεῖναι τοῦ μὴ τὴν περιγενομένην δόξαν ἀποβαλεῖν, ἐν ᾗ τὸ σόν τε κἀκείνου κλέος κινδυνεύεται. 'Εκείνῳ μὲν γὰρ εἰ ἄξιον σαυτὸν ἀποδείξεις, πάντως σεμνότερον καταστήσεις, οὗ τὴν εἰκόνα προθέμενος τοιοῦτος γεγένησαι. 'Αποτυχὼν δὲ τὸ κατὰ σὲ καὶ μᾶλλον ἴσως διαβαλεῖς, ἢ κἂν μὴ παντελῶς τῆς πρὸς ἐκεῖνον ἁμίλλης ἤρξω διὰ τὸ μὴ γεγονότα τοιοῦτον ἀντίπαλον ἐθέλειν σαυτὸν παριστάναι τοῦ τοσοῦτον ὑπερέχοντος. Σοί τε αὐτῷ, εἰ μὲν ἄξια τοῦ σκοποῦ κατορθώσεις, ἀοίδιμον ἐπιθήσεις στέφανον, εἰ δὲ μὴ δηλονότι, κἂν αὐτὸς μὴ λέγω, συμβάλλεις τὸ συμβησόμενον.* f. 243v *'Αλλ' ἐξ ὧν μέχρι καὶ νῦν* || *ἀπεμάξω τὰ ἐκείνου καὶ τὰ τῶν τρόπων σοι καθ' ἡλικίαν συνεπιδίδοται οὐ πάνυ τοι συγχωρεῖς ἀπιστεῖν σαυτὸν τῆς προσηκούσης δόξης οὐκ ἀπολειφθησόμενον. ῎Ηδη γάρ που καὶ τὸν Φιλίππου ζῆλος ὁ τοῦ πατρὸς εἰς ἔρωτα μείζονος εὐκλείας ἢ τῆς πρόσθεν αὐτῷ παραδεδομένης ἀνέστησεν. ῞Οθεν αὐτὸν ἀπομνημονεύουσιν ἔτι νέον πρὸς τοὺς συνήλικας οἷον ἀχθόμενον ταῖς τοῦ πατρὸς εὐπραγίαις εἰπεῖν τοῦθ' ὑποπτεύειν μὴ οὐκ εὐφημίας αὐτῷ χώραν ὁ πατὴρ ἐγκαταλείψοι· τῶν δὲ οὐ μικρὸν ἀποφαινομένων εἰς εὔκλειαν τοῦ τοσαῦτα κατωρθωκότος γενέσθαι πατρός, ἐγὼ μὲν οὖν, ἔφη, τοῖς ἐμοῖς ἂν μᾶλλον ἐσεμνυνόμην ἐπαινούμενος κατορθώμασιν. Οὕτως, ὡς ἔοικεν, οὐκ ἀρκεῖ τὸ ἐξ ἀγαθῶν πεφυκέναι τοῖς εὐγενέσιν, εἰ μὴ καὶ ταῖς ἐξ αὐτῶν ἀριστείαις τοῦτο προσμαρτυρήσουσιν.*

*Λοιπὸν δέ σοι καὶ ὃ τῶν πάντων οὐχ ἧττον τανῦν συμβαλεῖται· δεῖ γάρ*

---

141 *τῇ* || 144 *διηρημένων* || 155 *παριςᾶναι* || 161 *ζῆλος* supra lineam || *πρ͂ρ͂θεν* || 169 *Οιπόν* | *ἡττωτανῦν* ||

---

148 'Ομήρ., β 276.



Φωτοτυπία τοῦ φύλλ. 244ʳ τοῦ κώδ. 854 (C 80 inf)
τῆς Ἀμβροσιανῆς Βιβλιοθήκης.

*σε τὰς τῶν πάλαι καλῶς ἀκουσάντων πράξεις ἀνακαινίζειν τῇ γνώμῃ. Τοῦτο δέ σοι προσγενήσεται τὰ περὶ ἐκείνων ἱστορηθέντα μετερχομένῳ. Καὶ ὅτι μὲν πολλοὺς ἐπῆρεν εἰς εὐψυχίαν ὑμνηθεὶς Ἀχιλλεὺς σὺν τοῖς λοιποῖς ἥρωσι καὶ σὲ μετὰ τῶν ἄλλων προτρέψει. Ἀλλὰ καὶ Κῦρος ὁ Περσῶν βασιλεὺς μεθ' ὅσης συνέσεώς τε καὶ μεγαλοψυχίας τοῖς τοιούτοις προσεφέρετο πράγμασιν εἰ προσεχῶς ἐπιστήσεις, οὐ φαύλης τινὸς καὶ ἀγενοῦς πραγματείας πεῖραν προσεπικτήσῃ, ἀλλ' ὅσην εἰπεῖν ἄν τις ἔχοι προσήκουσαν ἀνδρὶ μεγάλων πράξεων εἰς τέλος ἀφιξομένην. Πολλὰ μὲν οὖν ἔχοι τις ἂν ἐκείνου θαυμάζειν ὑπερφυῶς κατορθούμενα· τῆς μέντοι πρὸς πάντας τοῦ ἀνδρὸς ἐλευθεριότητος καὶ προσηνείας οὐχ ἧττον ἔμοιγε δοκεῖ θαυμαστέον. Τοιγάρτοι παρὰ πάντων*
f. 244r *εὔνοιαν τοσαύτην ἐπεσπάσατο || ὡς καὶ τῶν πολεμίων οἷς ἐπηγγέλλετο δεινός τις ἐκείνου πόθος ἐπεγίνετο. Δῆλον δέ· οὐδεὶς γὰρ τῶν μετὰ ταῦτα καιροῦ λαβομένων τῆς Κύρου συντάξεως ἀπελείφθη· δι' ὅπερ μόνος ἐκεῖνος τοῖς αὐτοῖς τρόποις χρώμενος ὁμογνώμονας εἶχε τοὺς καθ' αὐτοὺς ἀλλήλων πολὺ διισταμένους. Ὥστε οὐ μόνον τοῖς ὅπλοις ἐκείνου πάντες ἥττηντο, ἀλλὰ καὶ τῇ χρηστότητι καὶ τοσαύτην ἀπέδειξε τὴν τῶν Περσῶν βασιλείαν, ὁπόσην ὁρίζονται, παραλαβὼν Μήδοις ὑπήκοον.*

*Ὧν ἐγὼ πρὸς τοῖς ἄλλοις ἐμνήσθην ὡς ἱστορίας τοῦ πλείονος ἕνεκα, οὐχ ὡς πρὸς ἀποροῦντα τοῖς οἰκειοτάτοις χρήσασθαι. Οὐ μόνον γὰρ τὰ τῶν πάλαι προγόνων ἔχεις λαμπρότατα καὶ αὐτάρκη παραδείγματα, ἀλλὰ καὶ τὰ τῶν νεωτέρων ᾄδεται πανταχοῦ, περὶ ὧν ἡμεῖς ἄλλοτε προσεχέστερον θεωρήσομεν, ἄλλως τε καὶ χρέος ἀφοσιούμενοι δίκαιον. Καὶ γάρ σου τὸ τοῦ πατρὸς μεγαλοπρεπέστατον ἀξίωμα τοσοῦτον ὑπερεῖχε δεινότητι φύσεως, ὥστε τῶν μὲν ἄλλων λαμπρῶς καὶ τῆς Σπάρτης ἀξίως διαπρεψάντων, οὐδὲν ἐπ' αὐτοῖς ἰδεῖν ἄν τις ἔχοι πλέον ἢ τὸ γενναίας φύσεως γεγονέναι. Τούτου δὲ εἰ μὲν τὸ πρὸς τὰς πράξεις γενναῖον ἀνασκοπεῖς, τοσούτῳ τῶν ἄλλων ἕξεις περιγινόμενον, ὅσῳ τοὺς ἐκ τῆς αὐτῆς πρὸς τοὺς λοιποὺς θαυμάζεις Ἕλληνας. Ὅταν δὲ πρὸς τὰς λοιπὰς ἀρετὰς ἀποβλέψῃς, τότε ἤδη καὶ τοῖς πάλαι θαρρούντως ᾀδομένοις ἰσοστάσιος καὶ τοιοῦτος ὡς ἀποδοῦναι λόγῳ προσήκοντι τῶν οὐ ῥᾳδίων ἡγούμεθα. Τίς γὰρ ἂν ἱκανῶς αὐτοῦ καὶ τὸ τῆς περὶ λόγους φιλοτιμίας θαυμάσειεν, ἐν οἷς καὶ κατάληψιν οὐκ ὀλίγην ἐνδείκνυται, οὐχ ὅτι τῶν ἐκ τοῦ παραχρῆμα τούτων καὶ δι' ὀλίγων πόνων ἐπικτωμένων, ἀλλὰ τῶν ἔτι καὶ οἷς ἔργον οὐδὲν ἄλλο δυσεπιβάτων, καίτοι πόσων ἐπαίνων ἐκεῖνος*
f. 244v *ἄξιος; || Πῶς δ' ἄν τις αὐτοῦ κατὰ τὴν ἀξίαν μνήμην ποιήσαιτο, ἄνδρα τινὰ τῶν ἐκ τοῦ Βυζαντίου διασημότατον, ὅτι γενναίως ἑώρα μετὰ τὴν τῆς πατρίδος ἅλωσιν θανεῖν μᾶλλον προελόμενον ἢ τοῖς βαρβάροις ὑποκλῖναι σὺν τοῖς υἱέσιν, ἀθανάτου μνήμης ἠξίωσεν, ἀναγράψας τὰ κατ' αὐτὸν ἅπαντα καὶ ἀνα-*

---

173 *προτρέψαι* || 175 *ἀγεννουσ* || 180 *οἷς* || 188 *οἰκειοταίτοις* || 190 *ἅδεται* || *ὧν* || 195 *τοσούτω* || 196 *ὅσω* || 198 *ῥαδίων* || 200 *οἷς* || 202 *οἷς* || 203 *ἄνδρά τινα* ||

*γράψας ὡς οἷόν τε ἀκριβέστατα τὸ πρέπον τῆς πραγματείας ἐφύλαξεν. Ἐκεῖνος μὲν οὖν ἔργα τοιαῦτα πράξας ὕμνηται κατ' ἀξίαν. Οὗτος δὲ ὁ καὶ τοὺς ἄλλους ἡμῖν ὡς Ἀχιλλέα τινὰ καὶ Τυδείδην ἡμῖν ποιήσας ᾄδεσθαι πῶς ἂν ἀπολάβοι παρὰ τῶν νῦν εὐφημίαν τὴν πρέπουσαν; Εἰ μὴ γὰρ ἀριστεῖς συνελθόντες τοῦτον ἐπαίνοις στέφοιεν, ἀλλὰ πολὺ τῆς αὐτοῦ περὶ τοὺς λόγους δυνάμεως ἀπολείπονται. Εἰ δ' οἱ ταύτης τῆς τάξεως προϊστάμενοι φιλοτιμοῖντο τοῖς πρὸς ἐκεῖνον ἐγκωμίοις, πῶς ἕξουσιν ἀποδοῦναι τὰ ἴσα, οἷς οὗτος τὸν ἄρτι μνημονευθέντα κεκόσμηκεν; Οἶμαι μὲν οὖν, εἰ καὶ μηδὲν ἄλλο σοι τῶν πρὶν κατειλεγμένων εἰρηκὼς ἐτύγχανον, τοῦτο καὶ μόνον ἱκανὸν ἀναμιμνησκομένῳ προτέρψαι πρὸς τὴν τῶν δεόντων αἵρεσιν. Νῦν δὲ καὶ μᾶλλον ὅσῳ μετ' ἄλλων οὐκ ὀλίγων δόξαν ἀειμνήστων κτησαμένων καὶ τοῦτό σοι προσγεγένηται.*

*Τέλος τοῦ πρὸς τὸν περιφανῆ Δημήτριον Λάσκαριν τὸν πρωτοστράτορα Στρατηγικοῦ Δημητρίου Μόσχου τοῦ Λάκωνος.*

ΦΑΙΔΩΝ Κ. ΜΠΟΥΜΠΟΥΛΙΔΗΣ

207 *οἷον* || 213 *οἷς* || 214 *ἄλλο* ex corr. pro *ἄλλῳ* || 217 *τοῦτο* ||